## ΑΝΤΙΠΑΤΡΟΥ.

Διοσᾶν ἐκ βροχίδων ἁ μὲν μία πίονα κίχλαν,
　Ἁ μία δ' ἱππεία κόσσυφον εἷλε πάγα.
Ἀλλὰ τὸ μὲν κίχλας θαλερὸν δέμας ἐς φάος ἦλθε
　Οὐκ ἔτ' ἀπὸ πλεκτᾶς ἧκε δεραιοπέδας.
Ἁδ' αὖθις μεθέηκε τὸν ἱερόν. ἦν ἄρ' ἀοιδῶν
　φειδὼ κἠν κωφαῖς ξεῖνε λινοστασίαις.

Ἄδηλον.

Ἀτθὶ κόρα, μελίθρεπτε, λάλος λάλον ἁρπάξασα
　Τέττιγα, πτανοῖς δαῖτα φέρεις τέκεσιν.
Τὸν λάλον, ἁ λαλόεσσα· τὸν εὔπτερον, ἁ πτερόεσσα,
　Τὸν ξένον, ἁ ξεῖνα, θερινὸν, ἠερινά.
Οὐχὶ τάχος ῥίψεις; οὐ γὰρ θέμις οὐδὲ δίκαιον
　Ὄλλυσθ' ὑμνοπόλους ὑμνοπόλοις στόμασιν.

---

## ΕΙΣ ΠΑΙΔΙΑΝ, κεφ. ξα.

### ΑΓΑΘΙΟΥ σχολαστικοῦ εἰς τὰ λυτὰ Ζήνωνος τοῦ βασιλέως.

Οὐτιδανοὶ μερόπων, εἰ καὶ μέγα ῥέζομεν ἔργον,
　Οὔτινος ἐς μνήμην δηρὸν ἐπερχόμεθα.
Οἱ δ' ἀγαθοὶ, κἢν μηδὲν, ἀναπνεύσωσι δὲ μοῦνον,
　Ὡς λίβυς εἶπεν ἀνὴρ, τοῦτ' ἀδάμαντι μένει.
Δήποτε γὰρ Ζήνωνα πολιοσοῦχον βασιλῆα
　Παίγνιον ἀφράστων ἐκτελέοντα κύβων,
Τρίη ποικιλότευκτος ἔλεν θέσις, εὖτ' ἀπὸ λευκοῦ
　Τοῦ καὶ ὀπισθιδίην εἰς ὁδὸν ἐρχομένου.

Ἑπτὰ